977 τό γ' ἄκον] τὸ ἀκούσιον. L

978 τὸ ἑξῆς, μητρὸς δὲ γάμους, τλῆμον, οὔσης ὁμαίμου σῆς, ἀναγκάζων με λέγειν οὐκ ἐπαισχύνῃ. LRM

1000 ἅπαν καλὸν λέγειν νομίζων] τουτέστιν ἀθυρόστομος ὤν. L

1006 ὅθ' οὕνεχ' εἴ τις γῆ: ὅτι οὕνεκα, ἐκ παραλλήλου τὸ αὐτό, ὡς τὸ εἴθ' ὤφελεν. L    ἀντὶ ἀγνοεῖς τοῦτο, ὦ Κρέων, ὅτι εἴ τις χώρα θεοὺς ἐπίσταται γιγνώσκειν, ἡττᾶται παρὰ τὸ φιλόθεον τῇ Ἀττικῇ. LRM

1016 οἱ μέν] οἱ θεράποντες Κρέοντος. L

1023 ἄλλοι: Ἀθηναῖοι ἐπιδιώκουσιν αὐτούς. L

οὓς] τοὺς Ἀθηναίους. L

1024 ἐπεύξωνται] οἱ σοὶ θεράποντες. L

1031 πιστὸς ὢν] ἀντὶ πιστεύων· καταστρέφει δὲ εἰς τὸ πεποιθώς. L

1044 εἴην ὅθι δαΐων: ὁ μὲν Κρέων καὶ ὁ Θησεὺς ἀπῆλθον... ὑπονοῶν αὐτὸν οὐ ψιλὸν ἥκειν, ἀλλὰ μετά τινος χειρὸς ἣν πλησίον που ἐστρατοπεδευκέναι·. κατὰ τοῦτο οὖν καὶ οἱ κατὰ τὸν χορόν, ἄλλως προβεβηκότες τὴν ἡλικίαν, εὐχὴν ποιοῦνται ταύτην· εἴθε εἴην ὅπου αἱ συμβολαὶ καὶ αἱ μάχαι μέλλουσιν ἔσεσθαι· ὑπονοοῦσι γὰρ αὐτῷ τὰ ὅμοια τῷ Θησεῖ περὶ τοῦ Κρέοντος καί φησιν, εἴθε ἐπόπτης ἐγενόμην αὐτῶν. LRM

ἐπιστροφαί] ἀντὶ ἀναστροφαί. L

1046 χαλκοβόαν] στερεοβόαν, μεγαλόφωνον. L

1047 ἢ πρὸς Πυθίαις: ἀπὸ κοινοῦ τὸ ἀκταῖς ληπτέον· λέγοι δ' ἂν Πυθίας ἀκτὰς τὸν τοῦ Πυθίου Ἀπόλλωνος βωμὸν τὸν ἐν τῷ Μαραθῶνι, ὅθεν καὶ τὴν θεωρίαν ἔπεμπον. ἱστορεῖ περὶ τούτων Φιλόχορος ἐν τῇ

977 HE., EM 50. 48

2 τλήμων L, ut in textu    3 οὐδ' L    5 ὡς τὸ] ἀντὶ τοῦ cod., corr. Lasc.    6 κρέον RM    7 περὶ τὸ φ. L    9 le. ἀλλ' οἱ cod., corr. Br.    11 οἷς οἱ L, corr. Elms.    13 aliquot verba excidisse censeo; ὁ μὲν Κρέων ἀπῆλθεν καὶ ὁ Θησεύς. ὑπονοῶν olim coniectaveram, at nunc adduci non possum ut putem hunc interpretem verborum usum esse structura, quam raro apud veteres illos optimosque auctores offendis; huc adde quod frustra requiris particulam δὲ quae voci μὲν respondeat. participium ὑπονοῶν Thesea respicit, non chorum.    15 s. ἄλλως... ἡλικίαν om. RM    17 αὐτῷ del. Lasc.: fortasse τῷ Θησεῖ potius delendum, quod sit glossema voci αὐτῷ additum    18 αὐτῷ RM    21 λέγει δὲ Π. RM    22 ἐν τῷ Μαραθῶνι interpres calami lapsu pro ἐν Οἰνόῃ (cfr. l. 11) scripsit; cfr. Dind., p. 57    24 ἱστορεῖ δὲ R





Τετραπόλει [F Gr Hist CCCXXVIII 75], γράφων οὕτως· "ὅταν δὲ σημεῖα γένηται ⟨τὰ⟩ παραδεδομένα ἐν τοῖς ἱεροῖς, τότε ἀποστέλλουσι τὴν θεωρίαν οἱ ἐκ τοῦ γένους... Πυθιάδα καὶ Δηλιάδα, ὁποτέρα ἂν καθήκῃ αὐτοῖς· θύει δὲ ὁ μάντις, ὅταν μὲν τὰ εἰς Δελφοὺς πόμπιμα γένηται καὶ θεωρία πέμπηται, ἐν Οἰνόῃ καθ' ἑκάστην ἡμέραν ἐν τῷ Πυθίῳ· εἰ δὲ εἰς Δῆλον ἀποστέλλοιτο ἡ θεωρία, κατὰ τὰ προειρημένα θύει ὁ μάντις εἰς τὸ ἐν Μαραθῶνι Δήλιον· καὶ ἔστιν ἱεροσκοπία τῆς μὲν εἰς Δελφοὺς θεωρίας ἐν τῷ ἐν Οἰνόῃ Πυθίῳ, τῆς δὲ εἰς Δῆλον ἐν τῷ ἐν Μαραθῶνι Δηλίῳ". LRM

πυθίαις] ὡς ἐπὶ Μαραθῶνα, οὗ τὸ Πύθιον ἵδρυται. L

1048 ἢ λαμπάσιν ἀκταῖς ἕως τέλη θνητοῖσιν: τὰ περὶ Ἐλευσῖνα μέρη φησί, καὶ εἴη ἂν λαμπάσιν ἀκταῖς, ταῖς λαμπαδευομέναις καὶ καταλαμπομέναις καὶ δᾳδουχουμέναις ὑπὸ τῆς μυστικῆς φλογὸς καὶ τῶν ἱερῶν δᾴδων, περὶ ὧν Αἰσχύλος [fr. 386 N.[2]] φησίν·

λαμπραῖσιν ἀστραπαῖσι λαμπάδων σθένει. LR

λαμπάσιν] περὶ Ἐλευσῖνα, ἀπὸ τῶν αὐτόθι ἐν τοῖς μυστηρίοις λαμπάδων. L

ἀκταῖς] τὸν βωμόν. L

1049 οὗ πότνιαι σεμναί: αἱ Θεσμοφόροι· τέλη δὲ τὰς τελετάς· καὶ Αἰσχύλος [fr. 387 N.[2]]

ἔφριξ' ἔρως δὲ τοῦδε μυστικοῦ τέλους. L

1047 De Tetrapolensium pompa Pythia, quae ab Atheniensium discernenda est, cfr. Boethius, *Die Pythais*, Uppsalae 1918, 34 ss.

2 suppl. Schneider (*Theophr. Opera* IV 747)    παραδεδομένοις (-νης M) RM    ἀποστελοῦσι RM    3 γένους· πύθιαι δὲ καὶ δηλιάδες L, γένους τοῦ πυθιάδος καὶ φηλιάδος RM, γένους Πυθιάδα καὶ Δηλιάδα vel γένους Πυθαισταὶ καὶ Δηλιασταί Valesius, ap. Harpokr. II p. 184 Dind., γένους Πύθιοι καὶ Δηλιασταί Gilbert apud Schoeffer, *De Deli insulae rebus*, p. 10, 33, γένους Πυθίαν τε καὶ Δηλιάδα Deubner (*Att. Fe.* 204), γένους [† Πύθιαι δὲ καὶ Δηλιάδες †] Jac.: gentis nomen periisse opinor    ὁπότερα codd., corr. C. Mueller (HGF I 411)    4 εἰς ἀδελφοὺς RM    4 s. καὶ θεω. πέμπ. om. RM    6 ἀποστέλοιτο RM    7 εἰς] οὖν RM    8 τῷ οἰνόης RM    11 τέλη et super l. μέρη L    12 ἂν om. L    καταλαμπαδευομέναις R    14 καὶ αἰσχ. R φησιν om. R    15 λαμπρᾶσιν ἀστραπᾶσι R    ἀστραπαῖσιν L, corr. P[1]    λαμπ.] καὶ δᾴδων quidam, teste Dindorfio, in Diario classico Londinensi a. 1816, p. 36.    21 ἔρωτι Br., ἐρῶσα Mein., ἐρῶ δὲ Dind.

1050 τιθηνοῦνται] ἐπιμελοῦνται καὶ ἀξιοῦνται θεραπείας. L

1051 ὧν] τῶν τετελεσμένων. L
ὧν καὶ χρυσέα κλῄς: ἐπεὶ ἄρρητα τὰ μυστήρια καὶ καθάπερ κλεισὶν ἡ γλῶσσα κατείληπται ὑπὲρ τοῦ μὴ ἐξενεγκεῖν. LR

1053 προσπόλων Εὐμολπιδῶν: ζητεῖται τί δήποτε οἱ Εὐμολπίδαι τῶν τελετῶν ἐξάρχουσι, ξένοι ὄντες· εἴποι δ' ἄν τις ὅτι ἀξιοῦσιν ἔνιοι πρῶτον Εὔμολπον μυῆσαι τὸν Δηιόπης τῆς Τριπτολέμου τὰ ἐν Ἐλευσῖνι μυστήρια καὶ οὐ τὸν Θρᾷκα καὶ τοῦτο ἱστορεῖν Ἴστρος [F Gr Hist CCCXXXIV 22] ἐν τῷ † περὶ † τῶν Ἀτάκτων. Ἀκεστόδωρος [HGF II 464] δὲ πέμπτον ἀπὸ τοῦ πρώτου Εὐμόλπου εἶναι τὸν τὰς τελετὰς καταδείξαντα γράφει οὕτως· "κατοικῆσαι δὲ τὴν Ἐλευσῖνα ἱστοροῦσι πρῶτον μὲν τοὺς αὐτόχθονας, εἶτα Θρᾷκας τοὺς μετὰ Εὐμόλπου παραγενομένους πρὸς βοήθειαν εἰς τὸν κατ' Ἐρεχθέως πόλεμον. τινὲς δέ φασι καὶ τὸν Εὔμολπον εὑρεῖν τὴν μύησιν τὴν συντελουμένην κατ' ἐνιαυτὸν ἐν Ἐλευσῖνι Δήμητρι καὶ Κόρῃ. Ἄνδρων [F Gr Hist X 13] μὲν οὖν γράφει οὐ ⟨τοῦ⟩τον Εὔμολπον εὑρεῖν ⟨τὴν⟩ μύησιν, ἀλλ' ἀπὸ τούτου Εὔμολπον πέμπτον γεγονότα· Εὐμόλπου γὰρ γενέσθαι Κήρυκα, τοῦ δὲ Εὔμολπον, τοῦ δὲ Ἀντίφημον, τοῦ δὲ Μουσαῖον τὸν ποιητήν, τοῦ δὲ Εὔμολπον τὸν καταδείξαντα τὴν μύησιν καὶ ἱεροφάντην γεγονότα". LR

1054 ἐγρεμάχαν] γρ. ὀρειβάταν, οἱονεὶ τὸν διὰ τῶν ὀρῶν βαίνοντα τῶν προειρημένων χωρίων. LR

1059 ἤ που τὸν ἐφέσπερον: τὸν Αἰγάλεων φησί· καὶ γὰρ τοῦτο ἐπ' ἐσχάτων

---

1053 cfr. SU., PH., HE. in v. *Εὐμολπίδαι*, EM 393. 28

---

3 *ἐπείπερ* R *καὶ* om. R 6 s. *ὅτι ἔν τινι πρῶτον ἀξιοῦσι μνῆσαι τῆς δηιόπης τῆς τριπτολέμου τὰ ἀλευσίνια μυστήρια* R 7 *μυῆ.] ποιῆσαι* L 9 vocem *περί*, procul dubio corruptam, textui obtrusam esse censeo postquam sincerus libri numerus index exciderat; *πέμπτῳ* Elms. *ἀκεσόδωρος* L 10 *ἀπὸ*] *ἀντὶ* R *μελετὰς* R 11 *ἱστοροῦσι δὲ* L 13 *πρὸς*] *εἰς* R *εἰς* om. L *ἐρεχθέος* L 14 aliquid fortasse excidit, *καὶ τὸν Εὔ.* ⟨*τοῦτον*⟩ Jac. verba *τὴν συντελουμένην κτλ.* ad extremum scholion usque, om. R 16 *οὐ τὸν Εὔ.* L, corr. Mueller (HGF I 375), *οὐ τὸν α' Εὔ.* Siebelis (*Philochori fragm.* p. 116), Mein. et Jac. suppl. Tr. 19 ⟨*πρῶτον*⟩ *ἱερ.* Mein. 21 *γρ.*] *καὶ* R *ὀρειοβάταν* L *ὅρων* ex *ὀρῶν* L, *ὀρῶν* R 23 *αἰγάλεω* R *τού.*] *τόπου* R





ἐστὶ τοῦ δήμου τούτου· καταλέγουσι δὲ χωρία παρ' ἃ μάλιστα εἰκάζουσι τὴν συμβολὴν γενέσθαι τοῖς περὶ τὸν Κρέοντα καὶ Θησέα. LR
πέτρας νιφάδος ἂν εἴη λέγων τὴν οὕτω λεγομένην λείαν πέτραν ἢ τὸν Αἰγάλεων λόφον, ἃ δὴ περιχώριά φασιν εἶναι, καθάπερ Ἴστρος [F Gr Hist CCCXXXIV 17] ἐν τῇ πρώτῃ τῶν Ἀτάκτων ἱστορεῖ, οὕτως "ἀπὸ δὲ τῆς χαράδρας ἐπὶ μὲν λείαν πέτραν". καὶ μετ' ὀλίγα, "ἀπὸ τούτου δὲ ἕως Κολωνοῦ παρὰ τὸν χαλκοῦν προσαγορευόμενον ⟨ὁδόν⟩, ὅθεν πρὸς τὸν Κηφισὸν ἕως τῆς μυστικῆς ὁδοῦ εἰς Ἐλευσῖνα· ἀπὸ ταύτης δὲ βαδιζόντων εἰς Ἐλευσῖνα τὰ ἐπ' ἀριστερὰ μέχρι τοῦ λόφου τοῦ πρὸς ἀνατολὰς τοῦ Αἰγάλεω." LRM ἤτοι τὴν καλουμένην λείαν πέτραν ἢ τὸν Αἰγάλεων. ὁ δὲ νοῦς, ἆρα ἐπὶ τὸν ἕσπερον χῶρον τῆς λείας πέτρας προσπελάζουσιν; LR
τὸν ἐφέσπερον] ἐπὶ τὸν ἕσπερον. L

1060 πελῶσ'] [γρ.] πελάζουσιν. L

1061 Οἰάτιδος ἐκ νομοῦ: Οἴα δῆμος τῆς Ἀττικῆς ὅθεν καὶ τὸ Οἰῆθεν. ⟨Οἰάτιδος⟩ ἐκ νομοῦ δέ, πάλαι χωρίου Ἀττικοῦ οὕτω καλουμένου· ἐν ᾗ νέμουσιν οἷς, νεμήσεως παρακειμένης. LR

1065 ὁ προσχωρῶν Ἄρης] ὁ Κρέων. L
προσχώρων] ἀντὶ τοῦ ἐπιχωρίων. L

1066 Θησειδᾶν] τῶν Ἀθηναίων. L ἁπλούστερον δὲ Θησειδᾶν φησι τῶν Ἀττικῶν τῶν ὑπὸ Θησέα τεταγμένων. LRM

---

1061 cfr. HE. in v. *Οἰάτιδος ἐκ ν.*, EUST. 1165, 46

---

1 *μάλιστα εἶναι* R 2 *συμβουλὴν* R 3 *πέτρας δὲ* L *πέτραν νιφάδα λέγων* RM 4 *φησι* RM 5 *ἱστ.*] *φησὶν* RM 6 *ἔπιμεν* L, *ἐπὶ τὴν* Wil. (Philol. Unters. XXII 321) *ὀλίγον* RM 7 suppl. Dind. (post *χαλκοῦν*), *Χαλκοῦν* di- Elms., sed e scholio ad v. 56 aperte patet Istrum *χαλκοῦν ὁδόν* non *Χαλκοῦν* dixisse; *τὸν χαλ. προσαγ. ὁδὸν πρὸς τὸν Κ.* Wil. 8 *μυστικῆς εἰσόδου εἰς ἐλευσ.* codd., *μυστικῆς ὁδοῦ τῆς εἰς Ἐλ.* Wil. 9 [*εἰς Ἐλευσῖνα*]? Jac. *τὰ* om. RM; Istri verba in fine fortasse mutila sunt 10 *ἀνατολὴν* RM *ἤτοι οὖν* L 14 secl. Dind. 15 *οἰὴ* R *ὅθ.*] *ἔνθεν* R *οἴηθεν* codd., ex Hesychii lemmate (cfr. Testim.) supplevi 16 *πάλαι*] *πάλιν* L, *φησιν πάλαι* RM *ᾗ*] *ᾧ* Br., Pap., iniuria, cum *ᾗ*, nisi fallor, ad *Οἰᾶτις* pertineat 17 *νέμουσιν* (*νέμεσις* R), *ὡς νεμήσεως παραχ.* codd., correxi, Hesychio (*τῆς προβατευομένης ἐκνεμήσεως*) collato post *παρακειμένης*, L habet 8, quapropter *οὕ*⟨*τω Δίδυμος*⟩ voluit Schmidt (*Didymi frr.*, p. 94), quem refellit Dind. 21 *θησέως* RM

*1068* τὸ ἑξῆς, πᾶσα δ' ὁρμᾶται ἄμβασις. L
*1069* ἀμπυκτήρια] φάλαρα. LR
*1076* τάχ' ἐνδώσειν τὰν δεινά: τάχα ἐνδώσει, φησίν, ὁ Κρέων τὴν πολλὰ δεινὰ τλᾶσαν, τὰς παρθένους ἀπὸ τῆς ἑτέρας δηλῶν, ὡς καὶ κατωτέρω [v. 1102] τῷ ὁμοίῳ σχήματι χρῆται. δύναται δὲ καὶ ἑτέρα προσῳδία εἶναι τᾶν δεινὰ τλασᾶν, δεινὰ δ' εὑρουσᾶν. LRM
δεινά] τὰ σὰ δεινά. L
*1094* διπλᾶς ἀρωγάς] νῦν διὰ τοῦ στέργω σημαίνει μὲν οἷον προσίεμαι, τελευτᾷ δὲ εἰς ἴσον τῷ παρακαλοῦμαι. τουτέστι, τῇ διπλῇ ἀρωγῇ, ὃ λέγει τῇ πόλει καὶ τοῖς πολίταις. LRM
*1096* ἔτι χορός. L
*1113* ἐμφῦσα] ἀντὶ τοῦ ἐμφῦσαι. L
*1119* ἰδίως ἐσχημάτισε καὶ τὸν λόγον· μὴ προσθαύμαζέ μου τὸ λιπαρές, τὸ λίαν προσκεκαθικὸς τῆς ψυχῆς τοῖς τέκνοις· τὸ δὲ ἑχόμενον οὐ καταλλήλως εἶπεν· οὐ γάρ φησιν ἀέλπτως φανέντων ἐμοὶ τῶν τέκνων μηκύνω τὸν λόγον, ἀλλὰ τέκνα φανέντα, εἶτα μηκύνω τὸν λόγον. L
πρὸς τὸ λιπαρές] πρὸς τὸ † κελεύειν † εἰ μακρηγορήσω. LRM
λιπαρές] ἀρέσκον. L
*1138* μέλου] ἀντὶ τοῦ ἐπιμελοῦ. L
*1140* θαυμάσας ἔχω] ἀντὶ τοῦ ἐθαύμασα, Ἀττικῶς. L
*1148* ἀγών] ⟨ἀγὼν⟩ οὗτος. LR
*1153* ἄνθρωπον δέ, φησίν, ὄντα οὐδὲν πρᾶγμα χαχίζειν δεῖ. LRM
*1156* καθ' ὑπόθεσιν ἱκετεύει ὁ Πολυνείκης πρὸς αὐτοὺς παραγενέσθαι καὶ τὸν Οἰδίπουν, κατά τι λόγιον ἐμπεσόν, ὅτι πρὸς οὓς ἂν γένοιτο ὁ Οἰδί-

---

1069 HE.  1138 SU.  1140 SU.; cfr. sch. in EUR. Med. 33, Hipp. 932, Tr. 317, Or. 451  1156 cfr. 354, 388, 457

---

2 glossema φάλαρα in textum invexere codd., corr. Bothe  3 ἐνδιώσει] ἐνδώσειν L  πολλὰ δὲ ἀνατλᾶσαν L  4 τὴν παρθένον codd., corr. Br.  5 δύν. δὲ] δυνικῶς RM  6 τὰν δ. τλᾶσαν δ. δ' εὑροῦσαν codd., corr. Br.  8 νῦν δὲ L, νῦν M, καὶ R  8 προσιέναι RM  9 προκαλοῦμαι L  10 καὶ ἄλλως· τουτέστι RM  11 επιχ cod., corr. Dind.  12 lo. ἐμφῦσᾶ L  13 καὶ del. Lasc.  17 κελεύειν (LR) corruptum, καθεύδειν M, κελεύσιμον Lasc.  εἰ om. RM  21 vox οὗτος in textum perperam illata est, corr. Pap., ⟨ἀγὼν⟩ addidi  22 ὄντα οὐ δεῖ πράγματα χαχίζειν (κωμίζειν M) δεί codd., corr. Porson (*Adversaria*, p. 167)  24 οἰδίποδα RM





πους, κρατήσουσι τῆς βασιλείας· τοῦτο οὖν ἀγγέλλει αὐτῷ ὁ Θησεύς. LRM
ἔμπολιν] ἐν τῇ αὐτῇ πόλει οἰκοῦντα. L
*1159* ἔκυρον] ἀντὶ τοῦ ἐκύρουν, ταὐτὸν τῷ ἐτύγχανον. L
*1164* τὸ ἑξῆς, φασὶν αὐτὸν μολόντ' αἰτεῖν ἐς λόγους σοι ἐλθεῖν. L
*1171* ὁ προστάτης] ὁ ἱκέτης, ὁ προσεστηκὼς τῷ βωμῷ. L
*1173* παῖς οὑμός] πρὸς τὸν Θησέα φησίν. ὧδε παῖδα αὐτὸν κέκληκεν. L
*1178* εἰκαθεῖν] παραγώγως ἀντὶ τοῦ εἴκειν. L
*1181* οὐχ ὡς οὐκ ἂν πεισθησομένου τῷ Θησεῖ τοῦ Οἰδίπου, οὕτως ἐδέησεν αὐτῷ καὶ τῆς ἐκ τῆς θυγατρὸς παρακλήσεως, ἀλλ' αὐξήσεως χάριν καὶ τοῦτο παρείληφεν τὸ πρόσωπον ὁ Σοφοκλῆς· ἀμέλει γοῦν πρὸς τὸν Θησέα ἀποκρίνεται ὡς ἐκείνῳ πεπεισμένος. L
*1185* τὸ ἑξῆς, οὐ γὰρ ἃ μή σοι συμφέροντα λέξεται πρὸς βίαν σε παρασπάσει γνώμης, θάρσει. τὸ δὲ λέξεται ἀντὶ τοῦ λέξει, ἃ Πολυνείκης δηλονότι. L
*1194* ἐξεπᾴδονται] καταπραΰνονται. L
*1195* περὶ τὴν πήρωσιν λέγοι ἄν· οὐ γὰρ τὰ ἐξ ἀρχῆς πραχθέντα ὀνειδίζοι ἂν αὐτῷ, ἀλλ' ἃ ἀπὸ τῆς ἄγαν ὀργῆς ἀπέβη· τούτου γὰρ αὐτὸν ἀποτρέπειν βούλεται. LRM
*1203* τίνειν] ἀντὶ τοῦ ἀμείβεσθαι. L
*1209* σὺ δέ] σὲ δέ. L
*1210* σῶν] ἀντὶ τοῦ σῶιον. L
*1211* ὅστις τοῦ πλέονος μέρους: κατάδηλός ἐστιν ὁ χορὸς ἐν ταὐτῷ ἀναφωνῶν καὶ ἀλληγορῶν περὶ τῆς τῶν ἀνθρώπων ἀπληστίας, καὶ ἔοικε τῷ Ἡσιόδου [Ἔ. κ. Ἡ. 40]

νήπιοι οὐδὲ ἴσασιν ὅσῳ πλέον ἥμισυ παντός.

τείνει δὲ ταῦτα εἰς τὴν δυσποτμίαν Οἰδίπου. LR

---

1156 SU.  1159 SU.  1171 SU.  1178 SU.  1210 cfr. EM (741, 43, ex Didymo)

---

1 κρατήσωσι RM  αὐτῷ om. L  4 φησὶν cod., corr. Lasc.  αἰτεῖν] ἐλθεῖν scripserat delevitque L  15 περὶ] πρὸς RM  ὀνειδίζει LR  16 ἀλλ' ἀπὸ L, ἀλλὰ ἀπὸ RM, corr. Doederlin (apud Dind.)  19 δέ σε cod., corr. Doederlin  21 ἀναφυγὼν καὶ ἀλληγορικῶς R  22 ἡσιόδῳ codd., corr. Nauck, Ἡσιοδείῳ Br., παρ' Ἡσιόδῳ Pap.  24 οὐδ' ἴσ. codd., corr. Pap.  25 τείνει om. R, qui δὲ post ταῦτα traiecit  τοῦ οἰδίποδος R

1219 ὁπότ' ἄν τις] γρ. ὅπου δτ' ἄν τις. L
ἐς πλέον πέσῃ: ἐς πλέον τοῦ προσήκοντος. ἀφανῆ τὰ τέρποντα γίνεται καὶ πᾶσιν ἄδηλα. LRM

1220 τοῦ δέοντος] ἀντὶ τοῦ μετρίου, τοῦ ἱκανοῦ. L
οὐδ' ἔπι κόρος: ταῦτα καθ' ἑαυτόν. LRM φησὶ δὲ ὁ χορός, τῷ πλεονεκτεῖν ἐθέλοντι παρὰ τὸ καίριον καὶ τὸ μέτριον, ἄχορός ἐστιν οὗτος ἰσοτέλεστος, ὁμοίως ἀποθνήσκουσιν οἱ τοιοῦτοι. τὸ ἑξῆς δέ, ἰσοτέλεστος θάνατος, τὰ δὲ ἄλλα διὰ μέσου [βῆναι κεῖθεν ὅθενπερ ἥκει ὡς τάχιστα]. τοῦτο ἐστὶ τὸ ἑξῆς, οἷον οὐδὲ ἔπεστιν αὐτοῖς κόρος ἰσοτέλεστος τοῦ Ἅιδου· τότε γὰρ ὁ τοιοῦτος κόρος λαμβάνει τέλος, ὅτε ἂν ὁ Ἅιδης ἐπέλθῃ. L
οὐ παύσονται τοῦ κόρου πρὶν εἰς θάνατον ἔλθωσιν. LRM
κοῦρος] οἶμαι κόρος. L

1223 ἄλυρος: ἐπεὶ ἐν θανάτῳ οὐχ ὑμνοῦσιν. ἢ μετὰ θάνατον οἱ τοιοῦτοι οὐχ ὑμνοῦνται. LRM

1225 μὴ φῦναι τὸν ἅπαντα: πάνυ ἄριστον ἀνθρώποις τὸ μὴ φῦναι, παρὰ τὸ λεγόμενον [Theogn. 425]

ἀρχὴν μὲν μὴ φῦναι ἐπιχθονίοισιν ἄριστον. LRM

1226 τὸ δ' ἐπεὶ φανῇ: τοῦτο τὸ ἑξῆς, ἐπεὶ δὲ φανῇ, τὸ βῆναι ἐκεῖθεν, ὅθενπερ ἥκει, ὡς τάχιστα, παρὰ πολὺ τῶν ἄλλων δεύτερόν ἐστιν ἐκείνου, τοῦ μὴ φῦναι καθόλου. LRM

1229 ὡς εὖτ' ἂν τὸ νέον παρῇ: ὡς ἡνίκ' ἂν νηπιότης παρῇ· ταύτας γάρ φησι κούφας ἀφροσύνας· οὐδὲν ἐπιλογίζεται τῶν δεόντων. ἰδίως αὐτὸ ἐξήνεγκεν, ὡς εἰ ἔλεγεν, τῷ γὰρ νέῳ ἀφροσύνη πάρεστιν. LRM

1231 τίς πλάγχθη: τοῦτο ἰδίως ἐξήνεγκεν· βούλεται δέ τι τοιοῦτο σημαίνειν· τίς ἂν πλαγχθείη ⟨ἔξω⟩ τῶν πολλῶν μόχθων; LRM
τίς ἔξω τοῦ πολύμοχθος εἶναι ἐπλανήθη; LRM

---

2 τέρ.] πεπραγμένα RM 5 ἐν τῷ πλεονεκτεῖ δὲ (om. R) θέλοντι RM et cetera ad scholii finem usque, omiserunt 6 ἄχορος secl. Pap., ἄχαρις Tr. 8 secl. Br., cum haec e scholio 1226 huc migraverint 12 παύσ. τοῦ] ταυτὸ ταυτοῦ RM 19 τοῦ L, ex quo τούτου Elms. 20 ἄλλων δύο ἐστὶν ἐκεῖνο τὸ μὴ RM 22 ἂν φησι τὸ νέον παρῇ ἡ (om. M) νηπιότης (νεότης R) παρῇ RM 22 s. alia, fortasse, ab illis quae nunc legimus Sophoclis verba habuit hic interpres 23 κούφου RM ἄλλως· ἰδίως RM 25 δέ τι τὸ τοιοῦτο L, δέ τοι τοιοῦτον RM 26 πλαχθείη (et infra, 2, πλάχθη) RM suppl. Doederlin (apud Dind.)



1232 τίς οὐ καμάτων ἔνι; φόνοι: ταῦτα † ὑπεροπτικῶς † εἴρηται, κατὰ τοιαύτην ἀπόκρισιν, καθ' ἣν ἐμφαίνεται πρότερον μὲν ὅταν εἴπῃ τίς πλάγχθη τῶν μόχθων τῶν πολλῶν ἔξω; ὑπακουόμενον τὸ τοιοῦτο, οὐδείς· πάλιν δὲ ὅταν ἑξῆς ἐπιζεύξῃ, τίς οὐ καμάτων ἔνι; τὸ πᾶς· βούλεται γὰρ καὶ νῦν κατὰ τὸ ὅμοιον λέγειν, οὐδείς ἐστι κάματος, ὃς οὐκ ἔνεστιν. LRM

1248 αἱ δ' ἐννυχιᾶν ἀπὸ Ῥιπᾶν: τὰ ἀπὸ τῶν ὀρῶν φησι, τῶν προσαγορευομένων Ῥιπῶν. τινὲς δὲ οὕτω καλοῦσι, Ῥίπαια ὄρη. λέγει δὲ αὐτὰ ἐννύχια διὰ τὸ πρὸς τῇ δύσει κεῖσθαι· μέμνηται δὲ καὶ Ἀλκμάν [fr. 59 D.²], λέγων οὕτως·

Ῥίπᾶν ὄρος ἀνθέον ὕλᾳ,
νυκτὸς μελαίνας στέρνον LRM

καὶ ἐν Ἡλιάσιν Αἰσχύλος [fr. 68 N²]

Ῥῖπαι μὲν δὴ πατρὸς Ἡ⟨ε⟩λίου RM

1257 παραφύλαττε πάλιν τὴν τέχνην τῆς ῥητορείας αὐτοῦ, ὅτι οὐκ εὐθέως ἐπὶ τὴν ὑπόθεσιν ἑαυτοῦ ἀπαντᾷ, ἀλλὰ προκατασκευάζει τὰ ὅλα εἰς εὔνοιαν. LRM

1262 κοινὰ δὲ τούτοις, ὡς ἔοικε, γίνεται. L

1270 ἄκη] ἀντὶ τοῦ ἀνακαλέσασθαι αὐτὰ καὶ ἀναλῦσαι. LRM
ἀλλ' ἀτιμάσας πέμψεις ἄναυδος;] ἐπανάληψις. LRM

1277 τὸ δυσπρόσοιστον] τὸ δυσπροσπέλαστον. L

1291 ἃ δ' ἦλθον] λείπει ἡ διά. L

---

1248 πρὸς τῇ δύσει κεῖσθαι: cfr. Kiessling in RE Iᴀ 883 ss. 1257 cfr. 939, 1760

---

1 ὑπεροπτικῶς om. RM, ἐρωτηματικῶς Tr., ὑποκριτικῶς Pap. 2 ὑπόκρισιν codd., quae vox modo apud Herodotum « responsum » significat 3 ἔξω om. L 4 s. καὶ νῦν om. RM 6 in le. δὲ νυχίαν L 8 διατί RM τὸ om. RM 10 ῥιπὰς L, ῥίπου R, ῥι M, corr. Lobeck, qui mox ἀνθέον pro ἔνθεον (codd.) scripsit 11 στέρνων codd., corr. Lasc. 12 ἰλιάσιν RM et Tr. 13 δὲ R, qui cetera om. ἡλίου M, corr. Mette (Supplementum Aeschyleum, Nachträge, p. 9) 14 παραφυλάττεται codd., corr. Dind.; cfr. 916 αὐτῷ RM 15 ἑαυ.] ἐπὶ τοῦ M, αὐτοῦ R 19 vocem ἐπανάληψις verbis ἀντὶ τοῦ ἀνακαλ. praeposuerunt codd., voci προσφορά (1270) tribuit Pap.

1311 σὺν ἑπτά τε λόγχαις] ἕκαστον σύστημα ἑνικῶς ὀνομάζει λόγχην, ὡς εἴ τις ἐπὶ πολλῶν ἵππων εἴπῃ τὴν ἵππον. L

1320 ἔνιοι οὐ τὸν Ἀταλάντης Παρθενοπαῖόν φασι στρατεῦσαι, ἀλλὰ τὸν Ταλαοῦ· ὃν ἔνιοι διὰ τοῦ κ, Καλαὸν προσαγορεύουσι· καθάπερ Ἀρίσταρχος ὁ Τεγεάτης [fr. 5 N.²] καὶ Φιλοκλῆς [fr. 3 N.²] ἱστοροῦσι, συγγραφέων δὲ Ἑκαταῖος ὁ Μιλήσιος [F Gr Hist I 32]. LRM ἐπώνυμος] παρὰ τὸ "παρθένος" οὕτω κληθείς. L

1329 τῷδ' ἀνδρί] δεικτικῶς· καί ἐστι πυκνὸς ἐν τῷ τοιούτῳ Σοφοκλῆς. LR

1333 παθητικόν ἐστι τὸ πρὸς τῶν πατρῴων κρηνῶν ὁρκοῦν, ὡς εἰ ἔφη, πρὸς τῶν ἐκθρεψάντων σε ὑδάτων. LR

1346 ἤρξατο πάλιν ὁ χορὸς χρηστόν τι συμβουλεύειν. LR

1350 δικαιῶν] δίκαιον κρίνων. LR

1354 ὅς γ', ὦ κάκιστε: δαιμονίως τῇ ἀποστροφῇ χρῆται ἀπὸ τοῦ χοροῦ ἐπὶ τὸν Πολυνείκην ὁ Οἰδίπους. παραφύλαξον δὲ πῶς οἱ αὐτοὶ τῶν λόγων γίνονται τῶν μὲν θηλειῶν ἐγκώμιον, τούτου δὲ κατηγόρημα. LRM

1375 τοιάσδ' ἀράς: τοῦτο ἀπαξάπαντες οἱ πρὸ ἡμῶν παραλελοίπασιν, ἔχει δὲ τὰ ἀπὸ τῆς ἱστορίας οὕτως· οἱ περὶ Ἐτεοκλέα καὶ Πολυνείκην δι' ἔθους ἔχοντες τῷ πατρὶ Οἰδίποδι πέμπειν ἐξ ἑκάστου ἱερείου μοῖραν τὸν ὦμον, ἐκλαθόμενοί ποτε, εἴτε κατὰ ῥᾳστώνην εἴτε ἐξ ὁτουοῦν, ἰσχίον αὐτῷ ἔπεμψαν· ὁ δὲ μικροψύχως καὶ τελέως ἀγεννῶς, ὅμως γοῦν ἀρὰς ἔθετο κατ' αὐτῶν, δόξας κατολιγωρεῖσθαι. ταῦτα ὁ τὴν κυκλικὴν Θηβαΐδα ποιήσας [Kinkel, Epic. gr. fr., 3] ἱστορεῖ οὕτως· LRM

---

1320 cfr. sch. in EUR. Ph. 150 et F Gr Hist I p. 327 s. 1329 cfr. sch. in Ai. 78. 902, OT 534, Ant. 1034, Tr. 305. 411. 548. 1013, OC 450. 649. 1472
1375 cfr. PAROEM.: Zen. V 43; EUST 1684, 9

---

2 εἶποι Lasc. 3 ἔνιοι] ἐν τοῖσιν RM ταλάντης RM φησι RM 4 ἔνιοι] ἔγραψε RM 9 πρὸς τῶν] πρόσωπον codd., corr. Dind., πρὸς Lasc. πατρῴου κρημνοῦ R 10 σε om. R 12 superiori scholio continuat R 14 τῷ λόγῳ γὰρ τῶν RM 16 τοῦτο] τὸ RM 19 ὁτον.] τοῦ R, ut vid., ἐξότως M 20 ἀγενῶς L ὅμως γοῦν del. Dind., post ὁτουοῦν transposuit Mein., μικροψύχως ⟨μὲν⟩... ὅμως δ' οὖν Nauck 21 ἄρα τίθετο M, ἀνατέθετο R 21 s. ταῦτα ὁ ποιητὴς ἱστορεῖ RM



ἰσχίον ὡς ἐνόησε χαμαὶ βάλεν, εἶπέ τε μῦθον·
ὤ μοι ἐγώ, παῖδες μὲν ὀνειδείοντες ἔπεμψαν·
εὖκτο δὲ Διὶ βασιλῆι καὶ ἄλλοις ἀθανάτοισι
χερσὶν ὑπ' ἀλλήλων καταβήμεναι Ἄϊδος εἴσω.

τὰ δὲ παραπλήσια τῷ ἐποποιῷ καὶ Αἰσχύλος ἐν τοῖς Ἑπτὰ ἐπὶ Θήβαις [785 s.]· καὶ ἔοικεν τὸ τῆς ἱστορίας ἥκειν ἐπὶ πολλούς, ὡς καὶ παρά τινα αὐτὰ ἐκτεθεῖσθαι πρὸς τὸ γελοιότερον, διὰ τούτων [Adespota 458 N.²]·

† ἀεὶ δ' ὁρῶντί τ' ὀξὺ καὶ τυφλὸς ἦν
θυσίας γὰρ ἀπαρχὴν γέρας ἐπέμπομεν πατρὶ †
περισσὸν ἀρνῶν ὦμον, ἔκκριτον γέρας·
τὸ δή γε συγκόψαντες, οὐ μεμνημένοι,
λήσειν δοκοῦντες, ἀντὶ τοῦ κεκομμένου
ἐπέμψαμεν βόειον· ὁ δὲ λαβὼν χερὶ
ἔγνω ἐπαφήσας εἶπέ τ' ἐκ θυμοῦ τάδε·

---

1 ἰσχίον om. R 2 παῖδε R μὲν] με Tr., μοι Herm. (*Opusc.* VII 200), μέγ' Schneidewin (apud Kinkel) ὀνείδειον τόδ' Buttmann; huic versui, fortasse ob vocem ὀνειδείοντες, litteram ζ ÷, h. e. ζήτει, appinxit L post ἔπεμψαν hiare sermonem censuit Herm. 3 εὖκτο δὶι L, εὖκτο δὲ δὶι (ex δυι) R, corr. Buttmann (*Gr. Gr.* II 405) βασιλεῖ codd., corr. Tr. 4 καταβῆναι L ἀΐδιος R 7 τινι (-α R) αὐτὰ κεκτῆσθαι codd., corr. Dind., ἐκτεθῆναι Lasc., Πρατίναν αὐτὰ ἐκτίθεσθαι Bergk (apud Nauck²), παρὰ Τίμωνι αὐτὰ πεποιῆσθαι Mein., sed cfr. WIL., *Kl. Schrif.* I 197 διὰ τούτων om. R 9 ὁρῶν γὰρ ὀξύ, καὶ τυφλός περ ἦν Herm., ὁρῶν τί γ' ὀξὺ ἦν, κεἰ τ. ἦν Dind., ὁρῶν ἔτυχ' ὀξύ εἰ καὶ τ. ἦν Bergk, ὁρῶντί γ' ὄξος, εἰ καὶ τ. ἦν Mein., ὁρῶντί γ' ὀξύ, καὶ τετυφλωμένῳ Robert (II 69) 10 γὰρ del. Herm. ἀπαρ L, ἀπαρχὴν R γέρα R, κρέας Herm.; proximum (v. 3), contra, γέρας in κρέας immutavit Methner *De Tragicorum gr. minor. et anonym. fragmentis*, progr. Bromberg 1883 p. 7 11 ἀρνῶν om. L, quare, ut numeros redintegrarent, ἔκκριτον τὸ δὴ | ⟨αὐτοί⟩ Turnebus, ἔκκριτον ⟨τὸ πρὶν⟩ Bergk, ἔκκριτον ⟨βοὸς⟩ Mein., ⟨ἀεὶ⟩ περισσὸν Gomperz (apud Methner), lacunam ante περισσόν indicavit Nauck 12 δὲ R ὃ δή γε συγκόψαντες Herm., τὸ δήποτ' ἐγκόψαντες Mein., τὸ δή γε σὺν κόψαντες Nauck, τοδὶ δὲ συγκόψαντες Robert 13 κεκομμένον L δοκοῦντες ἀντίκοπτον ἰσχίον Herm. lacunam post hunc versum statuit Robert 14 βόειον] μόριον R χειρὶ R 15 εἶπεν ἐκ R

τίς μοι τόδ' † ἀντόμοιον † μισητὸν κρέας
πέμπων; γέλωτα δή με ποιοῦνται κόροι
θύοντες, ὕβρει "τυφλός, οὔτι γνώσεται"
οὕτω λέγοντες· ὦ θεοί, μαρτύρομαι
ἐγὼ τάδ' ὑμᾶς καὶ κατεύχομαι κακὰ
αὐτοῖσιν, αὐτοὺς τῶνδε δὶς τόσα σχεθεῖν,
χαλκῷ δὲ μαρμαίροντες ἀλλήλων χρόα
σφάζοιεν ἀμφὶ † κτήμασι βασιλικοῖς †

καὶ Μένανδρος ἐν Ναυκλήρῳ [fr. 350 K.]

ὁ δὲ Πολυνείκης πῶς ἀπώλετ' οὐχ ὁρᾷς; LR

1399 καὶ αὕτη δευτέρα ἐστὶν ὥσπερ δέησις καὶ παθητικωτάτη, ἐν τῷ ἀπολοφύρεσθαι αὐτὸν τεχναζομένη πάνυ πιθανῶς. LRM

1426 χρῄζει] ἐν ἴσῳ τῷ χρησμῳδεῖ. L    τοῦτο ἐφ' ἑαυτοῦ φησι καὶ τοῦ ἀδελφοῦ, ἡμῖν δὲ οὐ συμβατέα οὐδὲ συγχωρητέα. LRM

1427 τίς δὲ τολμήσει ἕπεσθαι, κλύων τὰ τοῦδε τἀνδρός; LRM

1429 καὶ ἐν ταῖς τέχναις ἔστι τοῦτο, ὅτι οὐ πάντα δεῖ ἀληθεύεσθαι ἐὰν μὴ χρήσιμα ᾖ, ἀλλὰ δεῖ καί τι ψεύδεσθαι. LRM

1437 μέθεσθε δ' ἤδη: καὶ ἐκ τούτου δῆλον ὅτι ἐν τῇ παρακλήσει, ἅμα τοὺς λόγους λέγουσα τούτους, εἴχετο αὐτοῦ ἡ ἀδελφή. LRM

1444 τῇδε] καὶ τοιᾷδε τύχῃ καὶ ἐναντίᾳ. L

1447 νέα τάδε νεόθεν: εἰ καὶ ὅτι μάλιστα ξενικά ἐστι τὰ πρόσωπα καὶ τὰ κα-

---

1399 cfr. 1257, 1333

---

1 τόδαντ' ὅμιον (οι supra ι) R, τόδ' ἀνθόμοια Tr., τόδ' ἀντ' ὤμου 'σθ' ὁ Herm., τόδ' ἀντ' ὠμοιο Dind.    κλέας R    2 πέμπει R, πέμπεν Tr.,    γέλω L, γέλωτι R, corr. Elms.    κοῦροι R    3 οὗτοι L    4 μαρτύρομ' R    6 αὐτοῖσιν αὐτοῖς (ex ἀστοῖς) τῶν δὲ R, κακοῖσιν αὐτοῖς τῶνδε Herm., αὐτοῖσιν ἀντὶ τῶνδε Nauck, fortasse recte τόσσα L, τόσα τόσα R    σχέθειν codd., corr. Elms.    8 σφάξοιεν Tr., σφάξειαν Elms.    κτήμασιν τοῖς βασιλικοῖς Tr., κτήμασιν τυραννικοῖς Elms., fortasse recte, κτήμασιν βαληνικοῖς Bergk, βασιλικοῖσι κτήμασι Methner, Porsoni, quam dicimus, regulae securus    10 τε L    post ὁρᾷς, verba καὶ εὐφορίων προπρο δέ μιν δασπλῆτες ὀφειλόμ (cfr. sch. ad v. 681) scripserat et delevit L    12 αὐτὸν codd., corr. Turn.    13 τὸ χρ. cod., corr. Lasc.    17 δεῖν RM    τι om. RM



τέχοντα τούτους κακά, ὅμως συναλγεῖ καὶ εὐλαβεῖται μὴ ἐκ τῆς ὁμιλίας τῆς σὺν αὐτοῖς ἀπολαύσωσί τινος κακοῦ καὶ αὐτοί· ἐν τοιούτῳ οὖν ἤθει καὶ ὁ λόγος αὐτοῖς διάκειται.    τοιαῦτα πάρεστιν ἡμῖν, φησίν, ἄτοπα παρὰ τοῦ ξένου ἀπολαῦσαι, ἐκτὸς εἰ μὴ μοῖρά τις καταλαμβάνει ἡμᾶς καὶ κατὰ μοῖραν ἀπολαύομεν ὧν ἀπολαύσομεν. LRM

νεόθεν] νεωστί. L

1450 εἴ τι μοῖρα μὴ τυγχάνῃ: εἰ μὴ κατὰ μοῖραν ταῦτα πάσχω, εἴποιμι ἂν ἐκ τοῦ Πολυνείκους νέα μοι κακὰ ἐληλυθέναι. LRM

1451 μάτην γὰρ οὐδέ: οἷον, οὐδέν ἐστι μάταιον ὑπὸ θεῶν ἀξιωθὲν πραχθῆναι, ἀλλ' ὃ ἂν γίνηται ὑπὸ θεῶν, τοῦτο καλῶς γίνεται. L    τὸ ἑξῆς, μάτην οὐδὲν ἀξίωμα δαιμόνων ἔχω φράσαι, ἐπειδὴ ὁρᾷ ταῦτ' ἀεὶ ὁ χρόνος, ἕτερα μὲν αὔξων ἄνω, τὰ δὲ παρ' ἦμαρ αὖθις, ὅ ἐστιν εἰς τὸ ἔμπαλιν τρέπων τὰ ἤδη αὐξηθέντα. LR    οἷον, πάντα ἔχει ὑφ' ἑαυτῷ ὁ χρόνος, τὰ μὲν ὁρᾷ τὰ δὲ καὶ αὐτὸς ὁρᾶται· τὰ γὰρ πραττόμενα τῷ χρόνῳ φαίνεται. L    τουτέστιν, ἐν τῷ χρόνῳ πολλαὶ μεταβολαί, καὶ ὁρᾶται ὁ χρόνος πολλὰ μὲν αὔξων παρ' ἦμαρ, πολλὰ δὲ εἰς τὸ ἔμπαλιν τρέπων. LRM

1456 ἔκτυπεν αἰθήρ: τὸ συνεκτικώτατον τοῦ δράματος ἐν τούτῳ, καθὰ προεῖπεν ὁ Οἰδίπους [v. 94 s.]

σημεῖα δ' ἥξειν τῶνδέ μοι παρηγγύα
ἢ σεισμόν, ἢ βροντήν τιν', ἢ Διὸς σέλας.

μεταξὺ οὖν τῶν τοῦ χοροῦ λόγων γίνεται τοῦτο, ἐφ' ᾧ ὁ χορὸς ἀναβοᾷ, ὅπερ ἦν σύμβολον τοῦ τὸν Οἰδίποδα τεθνάναι· ὅπερ γνωρίσας ὁ Οἰδίπους, ἀξιοῖ τὸν Θησέα ἐν τάχει παραγενέσθαι. LRM

1459 τἀξίωμ'] βούλημα. L

1464 ἐς δ' ἄκραν] ἄκραν φόβαν κρατός, οὕτω τὸ ἑξῆς ἀποδώσεις. LRM

1466 οὐρανία] ἀντὶ τοῦ ταχεῖα. L

1468 τί μὰν ἀφήσει: τοῦτό φησιν, οὐ μάτην γίνεται τὸ κατὰ τὴν διοσημίαν,

---

1459 SU. in v. ἀξίωμα    1466 SU.

---

2 ἐν τῷ τοι. RM    4 ἀπολαβέσθαι RM    5 ἀπολαύσομεν ὧν ἀπολαύομεν LMR, corr. P[1]    9 s. θεῶν] θησέως utrobique L, corr. Elms.    10 γίνεται L, corr. P[1]    μάτην γὰρ L, μάτην δὲ R, qui οὐδὲν iteravit    11 ὁ om. L    18 ὁ Οἰδ. om. RM    21 τοῦ om. L    25 οὕτως ἀποδώσεις L    27 τὸ om. RM

ἀλλ' ἐπί τινι μεγάλῃ συμφορᾷ· νῦν δὲ συμφοράν φησι τὸ μέσον ὄνομα τῆς συντυχίας, οἷον ἐπί τινι γίνεται ἡ διοσημία. LRM

1469 ἅλιον] μάταιον. L

1470 οὐκ ἄνευ ξυμφορᾶς] ἀπὸ κοινοῦ τὸ ἐφορμᾷ. L

1472 τῷδ' ἐπ' ἀνδρί] ἀντὶ τοῦ ἐμοί. L

ἡ θέσφατος τελευτή, ἡ θεσπισθεῖσα τελευτή. L

1473 ἀποστροφή] ἀποφυγή. L

1474 τῷ] τίνι τεκμηρίῳ; LR

συμβαλών] νοήσας, στοχασάμενος. LR

1478 ἀμφίσταται] περιίσταται ἡμῖν μέγας ψόφος. LR

1480 ἵλαος ὦ δαῖμον: εὐσεβέστατα ὁ χορὸς εὔχεται πρὸς τὸν θεόν, εἰ ἐπί τινι χαλεπῷ ταῦτα πράττει, ἵλεων αὐτὸν γενέσθαι· ὅρα οὖν ὅτι ἡ συμφορὰ ἐπὶ τῆς μέσης ἐννοίας κεῖται. L

λείπει τὸ ἔσο. L

γᾷ ματρί] τῇ Ἀττικῇ. L

1481 ἀφεγγές] χαλεπόν. L

1482 ἐναισίου δὲ συντύχοιμι] μηδὲ πονηρῷ τινι συντύχω. L

1484 ἀκερδῆ χάριν] ἧς φαῦλον τὸ κέρδος. LRM

μετάσχοιμι] ἀντὶ τοῦ σχοίην. LRM

1486 ἀνήρ] ὁ Θησεύς. L

1488 τί δ' ἂν θέλοις τὸ πιστόν: τί τὸ πιστὸν θέλεις ἐμβαλεῖν τῇ φρενὶ ἐκείνου, τῇ τοῦ Θησέως δηλονότι; ἀντὶ τοῦ, τί βούλει πιθανὸν ἀνακοινώσασθαι τῷ Θησεῖ; LRM

1490 δοῦναί σφιν: ⟨τὸ χ⟩ ὅτι ἡ σφιν ἀντὶ τῆς οἱ ἀντωνυμίας κεῖται· ἔδει γὰρ τελεσφόρον δοῦναί οἱ χάριν ⟨εἰπεῖν⟩. LRM

ἀντὶ τοῦ αὐτῷ· κατὰ τιμὴν δὲ πληθυντικῶς· ἃ πάροιθ' ὑπεσχόμην. LRM

---

1474 SU. in v. τῷ δὲ τοῦτο συμβαλών  1478 SU.  1482 SU. in v. ἐναίσιμος  1484 SU.  1490 SU. in v. σφιν; cfr. 43; κατὰ τιμὴν πλ. cfr. ARISTOT. Rhet. 1407B. 32 ss., Περὶ ὕψους 23

---

8 R, aeque atque Su., haec cum proximis (l. 9) coniunxit  10 ἡμᾶς R φόβος R  19 τὸ δὲ μετάσχ. RM, qui superiori continuat scholio  22 τί om. RM  24 suppl. Pap.  καὶ ἄλλως· ὅτι RM, qui hoc post proximum scholion exhibet  κεῖται om. RM  25 suppl. Tr.  26 ἃ] ἣν καὶ RM





1491 ἰώ, παῖ: θαυμαστῶς ὁ χορὸς βοᾷ· ἐπείγει γὰρ τὸ πρᾶγμα. LR

1493 ἡ ἐπὶ πρόθεσις πρὸς τὸ ἄκραν, ἵν' ᾖ ἐπ' ἄκραν πέτραν. LRM

γύαλον] ἀντὶ τοῦ πέτραν. L

1494 Ποσειδανίῳ] Ποσειδῶνι. L

ἀντὶ τοῦ Ποσειδῶν, ὅς ἐστιν ἐνάλιος θεός, ὁ δὲ ἑτέρως ἐσχημάτισεν κτητικώτερόν πως· διὸ κεῖται τὸ χ. LRM

1495 ἁγίζων] ἁγιάζων. L

1500 κοινός] ὑμῶν τε καὶ Οἰδίποδος. L

1503 ἐπιρράξασα] ἀντὶ τοῦ ἐπέρραξεν. L

1506 τύχην] ἐπιτυχίαν. L

1507 νέορτον] ἀντὶ τοῦ νέον. L

1508 τὸ ἑξῆς, καί σε μὴ ψεύσας. L

1512 σημάτων προκειμένων] οἷον, διὰ τῶν σημείων. L

1519 γήρως ἄλυπα] ἕως γήρως. L

τῇδε κείσεται] γρ. σῇ τε κείσεται. L

1523 μήθ' οὗ κέκευθε] μήτε ὅπου κρύπτεται ὁ χῶρος. LRM

1525 γειτονων: εἰ μὲν βαρυτόνως, γειτόνων, τῶν Θηβαίων, εἰ δὲ περισπωμένως, ἀντὶ τοῦ γειτνιῶν, ὁ τάφος. LRM

1526 ἐξάγιστα: καθαρά· σημαίνει γὰρ τὸ ἄγος καὶ τοῦτο. οὕτως, ἐξάγιστα ἀντὶ ἁγνὰ καὶ μὴ οἷά τε ῥηθῆναι· καὶ ἐπὶ τούτου γὰρ χρῶνται πολλαχοῦ. LRM

1531 τῷ προφερτάτῳ] χρησίμως καὶ τοῦτο, ὥστε παρὰ τὸν καιρὸν τῆς τελευτῆς παραδιδόναι τὸ ἀπόρρητον τῷ πρεσβυτέρῳ υἱῷ, ὑπὲρ τοῦ μέχρι τοῦ παντὸς διαμεῖναι τὴν ὠφέλειαν τοῖς Ἀθηναίοις, δι' ἧς τῶν Θηβαίων κρατήσουσιν. LRM

1533 ἄδηον] ἀδῄωτον. L

---

1493 SU. in v. ἄκραν ἐπὶ γύαλον  1494 cfr. sch. in Phil. 417, in EUR. Ph. 188  1495 SU. in v. ἁγίζων  1507 SU.  1526 cfr. HE., EM 12. 26, An. Bk. 324. 20 et 330. 26, sch. in OT 656

---

2 πρόθ. om. L  5 in mg. χ L  ποσειδῶνος ἐστιν (om. RM) ἐνάλιος codd.  7 ἁγιάζων in textu, ἁγίζων super lineam L, corr. Su.  16 μήποτε RM χορός RM  18 ἀντὶ τοῦ om. RM  19 γὰρ καὶ τὸ ἄγος τοῦτο L; καὶ τοῦτο, h. e. τὸ καθαρόν, cfr. testim.  20 alterum καὶ om. RM  21 περὶ RM  τῆς τελ. om. RM  22 πρεσβυτικῷ RM  23 τοὺς ἀθηναίους RM

1535 κἂν εὖ τις οἰκῇ, ῥᾳδίως καθύβρισαν] κἂν δικαίως τις πολιτεύηται, πολλαὶ πόλεις ἀδίκως ἐπέρχονται. LRM

1541 ἐντρεπώμεθα] ἀντὶ τοῦ ἐπιστρεφώμεθα. Ὅμηρος [Λ 547. Ρ 109]

ἐντροπαλιζόμενος. LR

1542 ἐγὼ γὰρ ἡγεμὼν ὑμῖν πέφηνα, ὥσπερ ὑμεῖς τῷ πατρί. LR

1543 σφῷ] ὑμεῖς. L

1547 οὐ πταίει ὁ ὑποκριτής, ἀλλ' εὐθὺ ἄπεισιν ὥσπερ ἀγόμενος ὑπὸ τοῦ θεοῦ. πάνυ δὲ σεμνῶς καὶ τὸ τοῦ Ἑρμοῦ προσέθηκεν. LR

1549 φῶς ἀφεγγές: ὃ τῷ νῷ ὁρᾷ, οὐ τοῖς αἰσθητοῖς ὀφθαλμοῖς. LRM

1553 πρόσπολοί τε σοί] οἱ Ἀθηναῖοι. L

1556 τὰν ἀφανῆ θεόν] τὴν Περσεφόνην φησίν. L

1558 ἐννυχίων] τῶν ἐν νυκτὶ ἀεὶ καὶ σκότῳ διατριβόντων, τεθνηκότων. L

1560 λίσσομαι μήτ' ἐπιπόνῳ: τὰ ἑξῆς μὲν δῆλα ἐκ τῆς λέξεως, τὸ δὲ δίδου μοι τοῦτο ἀσυνάρτητόν πως φαίνεται ἡμῖν· ἐπιστῆσαι οὖν ἄξιον λαβόντας καλὸν ἀντίγραφον· δίδου μοι τὸν ξένον κατανύσαι τὰν παγκευθῆ κάτω νεκύων πλάκα καὶ Στύγιον δόμον, μήτε ἐπὶ πόνῳ, μήτ' ἐπὶ βαρυηχεῖ μόρῳ· εὔχονται δὲ αὐτῷ μὴ δυσθανατῆσαι. LRM

1565 καὶ μάταν πημάτων: τὸ μάτην ἱκνουμένων ἔν τινι τρόπῳ εἴρηκε, παρ' ὅσον σχεδὸν πάντα τὰ ἁμαρτήματα τῷ Οἰδίποδι ἀκουσίως ἐγένετο· καὶ νῦν οὖν κατὰ τοῦτο μάτην ἂν λέγοι τιμωρίαν ὑποσχεῖν αὐτόν. LRM

1567 ἀποστρέφει τὸν λόγον πρὸς τὸν Οἰδίποδα. L

1568 ὦ χθόνιαι θεαί] ὦ Ἐρινύες. L

1569 θηρός] τοῦ Κερβέρου. L

1571 εὐνᾶσθαι] κοιμᾶσθαι. L

κνυζεῖσθαί τ'] λείπει τὸ φασίν· ὁ γὰρ νοῦς τοιοῦτος· ὅν φασι κοιμᾶσθαι

---

1541 cfr. EM 345. 32, sch. D in Λ 547. O 554. P 109

---

3 ἐπιστρεφόμενος ὡς ὅμηρος RM 5 ἡγεμ. om. RM 7 εὐθὺς ἄπ. ὥστε R 8 καὶ τοῦτο ἑρμοῦ L 9 νῷ] νῦν RM ὁρᾶται Pap., iniuria, cum ὁρᾷ non de luce sed de Oedipo dicat interpres; post ὀφθαλμοῖς, pergit RM: τὸ ἑξῆς, ὦ φῶς ἐμὸν ἀφεγγές 13 in mg. ζτ L 13 s. αἰδοῦμαι Erfurdt (apud Herm.) pro δίδου μοι 15 δοῦναι μοι RM | ἐκτανῦσαι RM τὰν πλακενθῆναι RM 16 ἐπιπόνῳ codd. 18 τὸ] τῶν RM τόπῳ RM εἴρηται RM 20 ὑπίσχειν L, ὑπερσχεῖν RM, corr. Wolff αὐτῶν RM | 25 τοιοῦτος ὢν ὃν R





κνύζεσθαί τε [φασί]. τοῦτο δὲ αὐτὸς ἀποδέδωκεν εἰπὼν "λόγος αἰὲν ἀνέχει"· ἤρκει δὲ εἰ κατ' ἔλλειψιν ἐξενήνεκτο ὁ λόγος. LR

1573 λόγος αἰὲν ἀνέχει] ἀντὶ τοῦ φασίν. L

1574 ὅν, ὦ Γᾶς παῖ: τὸν Κέρβερον ἐξευμενίζομαι τῷ ξένῳ ὁρμωμένῳ καὶ περῶντι νερτέρας νεκρῶν πλάκας ἀβλαβῶς ὑπαντῆσαι. LR

ἐπανέλαβε· τῷ δὲ ἑνικῷ κέχρηται ἀντὶ πληθυντικοῦ· λέγει γὰρ τὰς Εὐμενίδας· ταύτας δὲ οὕτω καὶ ἐν ἀρχῇ [v. 40] γενεαλογεῖ. LR

1578 σέ τοι κικλήσκω: τουτέστι τὸν διὰ παντὸς κοιμώμενον· φησὶ δὲ τὸν Θάνατον ὥσπερ δαίμονά τινα ὄντα· πρὸς πάντας γὰρ σχεδὸν τοὺς ὑποχθονίους τὴν παράκλησιν ἐποιήσαντο, τὸν Πλούτωνα, τὴν Περσεφόνην, τὸν Κέρβερον καὶ νῦν πρὸς τὸν Θάνατον αὐτόν. LR

ὑφ' ἓν ἀναγνωστέον, αἰένυπνον, ἀείυπνον· οὕτως ἀποδιδόασι. LRM

1579 ἄνδρες πολῖται, ξυντομωτάτως: ἀντὶ τοῦ συντόμως. ἔστι δὲ ὁ ἄγγελος εἷς τῶν ἀκολουθησάντων Θησεῖ θεραπόντων· καὶ ἀφῖκται ἔνια ἀπαγγέλλων τῶν πραχθέντων ἐπὶ τῆς ἐρημίας· οὐ γὰρ πάντα δυνατὸν ἦν θεάσασθαι. LRM

1584 τὸν ἀεὶ βίοτον: τὴν ζωήν· εἰώθασι γὰρ τὸ ἀεὶ καὶ ἐπ' ὀλίγου χρόνου τάσσειν. Ὅμηρος [Ν 517]

ἔχων κότον ἐμμενὲς αἰεί. LRM

τὸ μακρὸν γῆρας. LRM

1587 ὡς μὲν γὰρ ἐνθένδε: ὑπερβατόν· ὡς μὲν γὰρ ἐνθένδε εἷρπεν, ὑφηγητῆρος οὐδενὸς φίλων, ἀλλ' αὐτὸς ἡμῖν πᾶσιν ἐξηγούμενος, καὶ σὺ παρὼν οἶδας. LRM

1588 ὑφηγητῆρος] κατὰ συναλοιφήν· λέγει δὲ ὅτι ὑπὸ οὐδενὸς ἡγητῆρος. LR

1589 ἐξηγούμενος] προηγούμενος. L

---

1578 SU. in v. αἰένυπνος 1584 SU., cfr. sch. T in N 516, HE. in v. αἰεί, EUST. 501, 24

---

2 ἐξενήνεκται L 5 νερτέρων νεκρῶν πύλας ἦγουν πλ. R 8 utrumque τὸν om. R 10 παράκλησιν ἐπεχρήσαντο πλούτωνα R 12 αἰὲν ὕπνον, ἄϋπνον RM ἀποδιδόναι RM 13 ss. haec RM ita praebet: ἀ. τ. συντόμως εἷς γὰρ τῶν θεραπόντων θησεύς, ὃς αὐτῷ ἠκολούθει παρῆν τε ἀπαγγέλλων (ἀπάγγειλον R) τινὰ ὧν ἐθεάσατο· οὐ γὰρ δυνατὸν ἦν αὐτῷ ἅπαντα γινώσκειν 24 δὲ et ὑπὸ om. R οὐδενὸς ὑφηγητικῶς R

